Demosthenes: Orationes selectae cum argumentis Libanii

Kreta, 2. Hälfte 15. Jh.





+

ὑμῖν γὰρ ἅπασι τοῖς ἄλλοις τοῦτο ἀγαθὸν γίγνεται·
ὅταν δὲ ἐπὶ δωροδόκους καὶ πονηροὺς πάντας
ἥττονος λήμματος· ἀποκλάειν· καὶ πικρὸς
καὶ ἐναντίος ἀκούειν· ὡς πονηρίᾳ διωκόμενος
δόξαν εὑρόμενος παρ' ὑμῖν· ἐπὶ τὴν πόλιν ἐστίν· ὁρᾶ-
τε δὲ ἀφ' ὧν οὗτος εὐδοκιμεῖ· τηλικαῦτα τῇ πόλει
περιέστηκε πράγματα· αἱ μὲν τοίνυν ἄλλαι δυ-
νάμεις· ἐπιεικῶς εἰσὶν αὐτάρκεις· ἡ δὲ τοῦ λέγειν·
ὅταν τὰ παρ' ὑμῶν τῶν ἀκουόντων τῶν ἐν τι αἰτῇ· διακό-
πτεται· οὕτως οὖν ἀκούετε τούτου· ὡς πονηροῦ
καὶ δωροδόκου καὶ οὐδ' ὁτιοῦν ὑμῖν ἐροῦντος ἀληθές· ὅτι
οὐ μόνον κατὰ τἆλλα· ἀλλὰ καὶ πρὸς αὐτὸν
τὸν φίλιππον πρὸς τὰ πράγματα πάντα τρόπον συμφέρει
τουτονὶ ἑαλωκέναι· θελήσατε· εἴτε γὰρ ἥξει ποτ'
εἰς ἀνάγκην τοῦ δίκαιόν τι ποιεῖν τῇ πόλει· τὸν
τρόπον μεταθήσεται· ὑμῖν μὲν γὰρ προῄρηται
τοὺς πολλοὺς ἐξαπατᾶν· ὀλίγους θεραπεύειν·
οὐδὲ τούτους ἀπολωλότας πύθηται· ὑμῖν τοῖς
πολλοῖς καὶ πάντων κυρίοις τὸ λοιπὸν ποιεῖν βου-
λήσεται· εἴτ' ἐπὶ τῆς αὐτῆς ἧς πρότερον ἐξουσίας
καὶ ἀσελγείας μενεῖ· τοὺς ὁτιοῦν ἂν ἐκείνῳ ποι-
ήσοντας ἀνῃρηκότες ἐκ τῆς πόλεως ἔσεσθε· ἂν
τούτοις ἂν μέλλητε· εἰ γὰρ οἱ οἰόμενοι δίκην ὑφέξειν τοι-

αυτ

UNIVERSITÄTS-
BIBLIOTHEK
HEIDELBERG

BIBLIOTECA APOSTOLICA VATICANA

© Biblioteca Apostolica Vaticana

The Polonsky Foundation

https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_104/0483